θαψε· τυφούμενος γὰρ ὑπὸ τῆς εὐγλωττίας, οὐκ ἀκριβῶς προσεῖχε
τοῖς παλαιοῖς· ἀλλὰ πάντων κρείττονα ἐνόμιζεν ἑαυτόν· ἀντικρὺς γοῦν ἠ-
γνόησεν ὅτι ἐν τῇ καθολικῇ Ἰωάννου γέγραπτο ἐν τοῖς παλαιοῖς ἀντιγρά-
φοις, ὅτι πᾶν πνεῦμα ὃ λύει τὸν Ἰησοῦν ἀπὸ τοῦ θεοῦ οὐκ ἔστι· ταύτην γὰρ τὴν διάνοιαν ἐκ
τῶν παλαιῶν ἀντιγράφων περιεῖλον οἱ χωρίζειν ἀπὸ τοῦ τῆς οἰκονομί-
ας ἀνθρώπου βουλόμενοι τὴν θεότητα· διὸ καὶ οἱ παλαιοὶ ἑρμηνεῖς αὐτὸ τοῦτο ἐπεση-
μείναντο, ὥς τινες εἶεν ῥαδιουργήσαντες τὴν ἐπιστολήν· λύειν ἀπὸ τοῦ θεοῦ τὸν
ἄνθρωπον θέλοντες· συνανείληπται δὲ ἡ ἀνθρωπότης τῇ θεότητι· καὶ οὐκέτι εἰσὶ
δύο, ἀλλ' ἕν· τούτῳ θαρροῦντες οἱ παλαιοί, θεοτόκον τὴν Μαρίαν λέγειν οὐκ ὤ-
κνησαν· οὕτω γὰρ καὶ ὁ Παμφίλου Εὐσέβιος, ἐν τῷ τρίτῳ λόγῳ τῷ εἰς τὸν βίον
Κωνσταντίνου, κατὰ λέξιν ταῦτά φησι· καὶ γὰρ καὶ γέννησιν ὑπομένειν ὁ
μεθ' ἡμῶν θεός, δι' ἡμᾶς ἠνέσχετο· καὶ τόπος αὐτῆς τῆς ἐνσάρκου γεννή-
σεως, ὀνόματι παρ' Ἑβραίοις Βηθλεὲμ ἐκηρύττετο· διὸ δὴ ἡ βασι-
λίσσα Ἑλένη ἡ θεοφιλεστάτη, τῆς θεοτόκου τὴν κύησιν μνήμασι θαυμαστοῖς
κατεκόσμει· παντοίως τὸ τῇδε ἱερὸν ἄντρον φαιδρύνουσα· καὶ Ὠριγέν-
ης δὲ ἐν τῷ πρώτῳ τόμῳ τῶν εἰς τὴν πρὸς Ῥωμαίους τοῦ ἀποστόλου ἐπιστολ-
ὴν ἑρμηνευμάτων, πῶς θεοτόκος λέγεται, πλατέως ἐξήτασε· φαίνεται τοίνυν
ὁ Νεστόριος ἀγνοήσας τὰς πραγματείας τῶν παλαιῶν· διό, καθὼς ἔφην,
τὴν λέξιν μόνην περιίσταται· ἐπεὶ ὅτι ψιλὸν ἄνθρωπον λέγει τὸν Χριστόν, ὥσπερ Φωτεινὸς
ἢ Παῦλος ὁ Σαμοσατεύς· ἐκ τῶν ἐκδοθεισῶν αὐτοῦ προσομιλιῶν οὐ διδάσκομαι,
ὡς οὐδαμοῦ τὴν τοῦ θεοῦ λόγου ὑπόστασιν ἀναιρεῖ· ἀλλὰ πανταχοῦ ἐνυπό-
στατον αὐτὸν ὁμολογεῖ καὶ ἐνούσιον· οὐ μὴν ὥσπερ Φωτεινὸς ἢ ὁ Σαμοσατεὺς
ἀναιρεῖ αὐτοῦ τὴν ὕπαρξιν· τοῦτο γὰρ οἱ Μανιχαῖοι καὶ οἱ ἀπὸ Μοντανοῦ
δογματίζειν ἐτόλμησαν· οὕτω μὲν οὖν τὸν Νεστόριον φρονοῦντα εὑρίσ-
κω ἔγωγε, ἔκ τε τῶν ἀναγνωσθέντων αὐτοῦ λόγων, καὶ ἀφ' ὧν οἱ ἐρασταὶ αὐτοῦ λέγουσιν·
οὐ μικρὰν μέντοι ταραχὴν τῇ οἰκουμένῃ, ἡ ψυχρολογία αὐτοῦ ἐκίνησε:

Περὶ τοῦ γενομένου μιασμοῦ ἐν τῷ θυσιαστηρίῳ τῆς μεγάλης ἐκκλησίας ὑπὸ τῶν φυγάδων δούλων: λγ

Καὶ τούτων γενομένων, ἐπισυνέβη ἐναγὲς καὶ μιαρόν τι πρᾶγμα κατ' αὐτὴν ἐκκλη-
σίαν γενέσθαι· οἰκέται γάρ τινος τῶν μεγαλοδυναμούντων, βάρβαροι ὄντες
τὸ γένος, ἀπηνοῦς τοῦ δεσπότου πειρώμενοι, τῇ ἐκκλησίᾳ προσφεύ-
γουσι· καὶ ξιφη[φόροι] φοροῦντες, εἰς τὸ θυσιαστήριον εἰσεπήδησαν· παρα-
καλούμενοι [τε] ἐξελθεῖν, οὐδενὶ τρόπῳ ἐπείθοντο· ἀλλ' ἐμ-
ποδὼν ταῖς ἱεραῖς λειτουργίαις ἐγίνοντο· ἐπὶ τε ἡμέρας πολλὰς τὰ ξίφη γυ-
μνὰ κατέχοντες, ἕτοιμοι πρὸς τὸ ἀμύνασθαι παντὶ τῷ προσιόντι ἐπ